eul_wid: lja-aa

*Πύθων ὁ Καταναῖος* · Python of Catana

# Fragments on Harpalus and Athens

*Ἀποσπάσματα περὶ Ἁρπάλου καὶ Ἀθηνῶν*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic (dr, frg)
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

book 1.1 [ln_1]ἔστιν δ’ ὅπου μὲν ὁ κάλαμος πέφυχ’ ὅδε φέτωμ’ ἄορνον, οὑξ ἀριστερᾶς δ’ ὅδε πόρνης ὁ κλεινὸς ναός, ὃν δὴ Παλλίδης

book 1.2 τεύξας κατέγνω διὰ τὸ πρᾶγμ’ αὑτοῦ φυγήν.[ln_5]ἐνταῦθα δὴ τῶν βαρβάρων

book 1.3 τινὲς μάγοι ὁρῶντες αὐτὸν

book 1.4 παγκάκως διακείμενον ἔπεισαν ὡς ἄξουσι τὴν

book 1.5 ψυχὴν ἄνω τὴν

book 1.6 Πυθιονίκης ...[ln_8a]... ἐκμαθεῖν δέ σου

book 1.7 ποθῶ[ln_9]μακρὰν ἀποικῶν κεῖθεν, Ἀτθίδα

book 1.8 χθόνα

book 1 [ln_10][spk_β]τίνες τύχαι καλοῦσιν ἢ πράττουσι τί. 〈Β〉 ὅτε μὲν ἔφασκον δοῦλον ἐκτῆσθαι βίον, ἱκανὸν ἐδείπνουν· νῦν δὲ τὸν χέδροπα μόνον καὶ τὸν μάραθον ἔσθουσι, πυροὺς δ’ οὐ μάλα. 〈Α〉 καὶ μὴν ἀκούω μυριάδας τὸν Ἅρπαλον[ln_15]αὐτοῖσι τῶν Ἀγῆνος οὐκ ἐλάττονας σίτου διαπέμψαι καὶ πολίτην γεγονέναι. 〈Β〉 Γλυκέρας ὁ σῖτος οὗτος ἦν, ἔσται δ’ ἴσως αὐτοῖσιν ὀλέθρου κοὐχ ἑταίρας ἀρραβών